**Exegetisk genomgång av evangeliet för Sextonde söndagen efter trefaldighet, årg 1, 2021**

**Johannes 11:28-44**

Καὶ τοῦτο εἰποῦσα ἀπῆλθεν καὶ ἐφώνησεν Μαριὰμ τὴν ἀδελφὴν αὐτῆς λάθρα εἰποῦσα· ὁ διδάσκαλος
πάρεστιν καὶ φωνεῖ σε. [29] ἐκείνη δὲ ὡς ἤκουσεν ἠγέρθη ταχὺ καὶ ἤρχετο πρὸς αὐτόν. [30] οὔπω δὲ ἐληλύθει ὁ
Ἰησοῦς εἰς τὴν κώμην, ἀλλ᾽ ἦν ἔτι ἐν τῷ τόπῳ ὅπου ὑπήντησεν αὐτῷ ἡ Μάρθα. [31] οἱ οὖν Ἰουδαῖοι οἱ ὄντες
μετ᾽ αὐτῆς ἐν τῇ οἰκίᾳ καὶ παραμυθούμενοι αὐτήν, ἰδόντες τὴν Μαριὰμ ὅτι ταχέως ἀνέστη καὶ ἐξῆλθεν,
ἠκολούθησαν αὐτῇ δόξαντες ὅτι ὑπάγει εἰς τὸ μνημεῖον ἵνα κλαύσῃ ἐκεῖ. [32] Ἡ οὖν Μαριὰμ ὡς ἦλθεν ὅπου
ἦν Ἰησοῦς ἰδοῦσα αὐτὸν ἔπεσεν αὐτοῦ πρὸς τοὺς πόδας λέγουσα αὐτῷ· κύριε, εἰ ἦς ὧδε οὐκ ἄν μου
ἀπέθανεν ὁ ἀδελφός. [33] Ἰησοῦς οὖν ὡς εἶδεν αὐτὴν κλαίουσαν καὶ τοὺς συνελθόντας αὐτῇ Ἰουδαίους
κλαίοντας, ἐνεβριμήσατο τῷ πνεύματι καὶ ἐτάραξεν ἑαυτὸν [34] καὶ εἶπεν· ποῦ τεθείκατε αὐτόν; λέγουσιν
αὐτῷ· κύριε, ἔρχου καὶ ἴδε. [35] ἐδάκρυσεν ὁ Ἰησοῦς. [36] ἔλεγον οὖν οἱ Ἰουδαῖοι· ἴδε πῶς ἐφίλει αὐτόν. [37] τινὲς
δὲ ἐξ αὐτῶν εἶπαν· οὐκ ἐδύνατο οὗτος ὁ ἀνοίξας τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ ποιῆσαι ἵνα καὶ οὗτος μὴ
ἀποθάνῃ; [38] Ἰησοῦς οὖν πάλιν ἐμβριμώμενος ἐν ἑαυτῷ ἔρχεται εἰς τὸ μνημεῖον· ἦν δὲ σπήλαιον καὶ λίθος
ἐπέκειτο ἐπ᾽ αὐτῷ. [39] λέγει ὁ Ἰησοῦς· ἄρατε τὸν λίθον. λέγει αὐτῷ ἡ ἀδελφὴ τοῦ τετελευτηκότος Μάρθα·
κύριε, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστιν. [40] λέγει αὐτῇ ὁ Ἰησοῦς· οὐκ εἶπόν σοι ὅτι ἐὰν πιστεύσῃς ὄψῃ τὴν
δόξαν τοῦ θεοῦ; [41] ἦραν οὖν τὸν λίθον. ὁ δὲ Ἰησοῦς ἦρεν τοὺς ὀφθαλμοὺς ἄνω καὶ εἶπεν· πάτερ, εὐχαριστῶ
σοι ὅτι ἤκουσάς μου. [42] ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ μου ἀκούεις, ἀλλὰ διὰ τὸν ὄχλον τὸν περιεστῶτα εἶπον,
ἵνα πιστεύσωσιν ὅτι σύ με ἀπέστειλας. [43] καὶ ταῦτα εἰπὼν φωνῇ μεγάλῃ ἐκραύγασεν· Λάζαρε, δεῦρο ἔξω.
[44] ἐξῆλθεν ὁ τεθνηκὼς δεδεμένος τοὺς πόδας καὶ τὰς χεῖρας κειρίαις καὶ ἡ ὄψις αὐτοῦ σουδαρίῳ
περιεδέδετο. λέγει αὐτοῖς ὁ Ἰησοῦς· λύσατε αὐτὸν καὶ ἄφετε αὐτὸν ὑπάγειν.

**Struktur:**

1) Jesus möte med Maria (11:33-37)

2) Uppväckandet av Lasarus (11:38-44).

Jesus sju tecken i Joh:

1) 2:1-11; 2) 4:46-54; 3) 5:1-18; 4) 6:1-14; 5) 6:15-25; 6) 9:1-41; 7) 11:1-46.

Viktiga paralleller i Johannesevangeliet: 5:19-29; 11:23-27; 19:38-20:7.

ὅτι σύ με ἀπέστειλας: 11:42; 17:8, 21, 23, 25.